## ΤΥΠΟΣ ΠΡΩΤΟΤΥΠΟΥ

ΚΑΙ

# ΛΑΚΩΝΙΚΗΣ ΒΙΟΓΡΑΦΙΑΣ [1].

---

Πολωνὶς ὑψιγένεθλος, ἐγκρατὴς τῆς ἀρχαίας Ἑλληνικῆς, στοιχηματίσασα μετὰ τοῦ φίλου αὐτῆς λοχαγοῦ Β. Νικολαΐδου, ἐκέρδησε στοίχημα ἐπὶ τιμήματι ἀορίστῳ (une discrétion). Ἔπεμψε δὲ πρὸς αὐτὸν τὴν αὐτῆς φωτογραφίαν γράψασα κάτωθι αὐτῆς ἑλληνιστί·

« Ἡ νικήτρια ἀντὶ νικητηρίων αἱρεῖται τὴν αὐτόγραφον τοῦ νενικημένου
« βιολογίαν. »

Ὁ νικηθεὶς ἀντεπέστειλε τὴν ἰδικήν του φωτογραφίαν φέρουσαν ὀπισθογράφως τάδε·

« Ἔτη μὲν περὶ τὰ τέτταρα πρὸς τὰ πεντήκοντα·
(Τὴν δὲ ἡλικίαν εἰκοσικαιτριέτης τὸ δεύτερον).
« Ἔτη σπουδῆς καὶ μελέτης ἀμφὶ τὰ δεκάκις τέτταρα·
« Ἔτη ὑπηρεσίας ἑπτὰ πρὸς τὰ τοσαῦτα·
« Ἔτη λοχαγίας ἓν πρὸς τὰ τούτων ἡμίσεα.

« Ἐλθὼν εἶδον.

« Ἔπαθον μαθὼν.....,
« Ἐδιδάχθην διδάξας.

« Ἐπολέμησα καὶ ἐπολεμήθην,
« Ἐνίκησα καὶ ἐνικήθην.

« Ἐφίλησα καὶ ἐφιλήθην,
« Ἐτίμησα καὶ ἐτιμήθην.

« Ἐμίσησα καὶ ἐμισήθην,
« Ἐρασθεὶς δὲ, οὔπω ἀντηράσθην,
(Εἴ σοι θυμὸς ἄνωγε, πεῖραν λάβε).

« Ἀγήρως τὴν καρδίαν,
« Ἄοκνος τὴν φρένα.

« Ἄγαμος,
« Ἄκληρος,
« Ἄοικος,
« Ἄχρυσος καὶ
« Ἄφροντις.

« Ἀπόμισθος ἐκ πολλοῦ,
« Ἀπόστρατος μετ' οὐ πολὺ,
« Ἀλλ' οὐ, μὰ Δί'! ἀχρείης. »

(1) Ἀντίγραφον τοῦ ἐγγράφου τούτου ἐστάλη τῷ ἐκδότῃ παρὰ τῆς φιλόφρονος Κυρίας Ν..... Π ...